χάριν· οὗ ἐπιτελεσθέντος ἐν ὑπατείᾳ Ἰσιδώρου καὶ Σινάτορος, λαβὼν τὴν γαμετήν, αὖθις ἐπὶ τὰ ἑσπέρια μέρη ἀνέδραμε. Τοιοῦτο μὲν οὖν καὶ τόδε τοῦ βασιλέως εὐτύχημα γέγονεν.

με Ὡς ὁ ἐπίσκοπος Πρόκλος, πείσας τὸν βασιλέα, τὸ σῶμα Ἰωάννου μετακομισθὲν εἰς Κωνσταντινούπολιν ἀπὸ τῆς ἐξορίας, ἐν τῇ τῶν ἀποστόλων ἐκκλησίᾳ κατέθετο.

Οὐκ εἰς μακρὰν δὲ μετὰ τοῦτο, ὁ ἐπίσκοπος Πρόκλος, τοὺς χωριζομένους διὰ τὴν τοῦ ἐπισκόπου Ἰωάννου καθαίρεσιν ἐπανήγαγε, φρονήσει παραμυθησάμενος τὴν λύπην αὐτῶν. Τί δὲ τοῦτο ἦν, λεκτέον. Τὸ σῶμα Ἰωάννου ἐν Κομάνοις τεθαμμένον, τὸν βασιλέα πείσας, τριακοστῷ πέμπτῳ ἔτει μετὰ τὴν καθαίρεσιν, εἰς τὴν Κωνσταντινούπολιν μετεκόμισε· καὶ μετὰ πολλῆς τιμῆς δημοσίᾳ πομπεύσας, αὐτὸ εἰς τὴν ἐπώνυμον τῶν ἀποστόλων ἐκκλησίαν ἀπέθετο· πεισθέντες οὖν ἐπὶ τούτῳ οἱ δι' αὐτὸν χωριζόμενοι, τῇ ἐκκλησίᾳ ἡνώθησαν. Καὶ γέγονε τῇ ἑξκαιδεκάτῃ ὑπατείᾳ τοῦ βασιλέως Θεοδοσίου, περὶ τὴν ἑβδόμην καὶ εἰκάδα τοῦ Ἰαννουαρίου μηνός. Θαυμάσαι δέ μοι ἔπεισι, πῶς ὁ φθόνος, Ὠριγένη μὲν τελευτήσαντος ἥψατο, Ἰωάννου δὲ ἐφείσατο. Ὁ μὲν γὰρ μετὰ διακοσιοστόν που τῆς ἑαυτοῦ τελευτῆς, ὑπὸ Θεοφίλου ἀκοινώνητος γέγονεν· Ἰωάννης δὲ, τριακοστῷ πέμπτῳ ἔτει μετὰ τὴν τελευτήν, εἰς κοινωνίαν ὑπὸ Πρόκλου ἐδέχθη· τοσοῦτον Πρόκλος Θεοφίλου τῷ τρόπῳ διήνεγκεν. Ἀλλὰ ταῦτα μὲν ὅπως γέγονε τότε καὶ ἀεὶ γίνεται, τοῖς σωφρονοῦσιν οὐ διαφεύγει.

μς Περὶ τοῦ θανάτου Παύλου τοῦ Ναυατιανῶν ἐπισκόπου, καὶ τοῦ μετ' αὐτὸν χειροτονηθέντος Μαρκιανοῦ.

Ὀλίγον δὲ μετὰ τὴν τοῦ σώματος Ἰωάννου ἀπόθεσιν, καὶ Παῦλος ὁ τῆς Ναυατιανῶν ἐκκλησίας ἐτελεύτησεν ἐν ὑπατείᾳ τῇ αὐτῇ, περὶ τὴν μίαν καὶ εἰκάδα τοῦ Ἰουλίου μηνός· ὃς τῇ ἑαυτοῦ ἐκκομιδῇ, πᾶσι τοῖς διαφόροις αἱρέσεσι τρόπον τινά, μίαν ἐκκλησίαν εἰργάσατο. Πᾶσαι γὰρ αὐτοῦ τὸ σῶμα, ἄχρι τοῦ μνήματος σὺν ψαλμῳδίαις παρέπεμπον· ἐπείπερ ζῶν διὰ βίου ὀρθότητα, πᾶσιν ἐπέραστος ἦν. Ἐπεὶ δὲ Παῦλος ἀξιομνημόνευτα τελευτᾶν μέλλων διεπράξατο, χρεὼν δὲ εἶναι ἡγοῦμαι τῇδε τῇ ἱστορίᾳ αὐτὸ προσθεῖναι πρὸς ὠφέλειαν τῶν ἐντυγχανόντων αὐτῇ. Ὅτι μὲν γὰρ ἀρρωστῶν τῆς συνήθους τῆς ἀσκήσεως διαίτης ἐχρῆτο μηδαμῶς παρεκκλίνων αὐτῆς, καὶ ὡς οὐδὲ ἐλλιπῶς τὰς εὐχὰς ἐκτελῶν, παραλιπεῖν μοι δοκῶ· ἵνα μή, περὶ τούτου διακριβῶν, ἀμαυρώσω τὴν ἀξίαν μνήμης ὡς ἔφην καὶ ἐπωφελῆ πρᾶξιν αὐτοῦ. Τίς δὲ ἐστίν, ἤδη λεκτέον. Μέλλων τελευτᾶν, πάντας τοὺς ὑπ' αὐτὸν ἐκκλησιῶν ἱερωμένους μεταπεμψάμενος, φροντίσατε ἔφη ἀναδεῖξαι ἐπίσκοπον, ἕως ἔτι ἐν πνέουσιν εἰμί· ἵνα μὴ μετὰ

http://digital.slub-dresden.de/ppn334880238/520